Ακαδημία Αθηνών / Academy of Athens

Bandini Cod. Laurent. I, σελ. 548

**Ἀποστόλης Μιχαήλ**

Ὑπὸ Bandinii περιγράφοντος τὸν ὑπ' ἀρ. Pl. IV cod. XXVI κώδ. (16 αἰ.) ἐκδίδεται ἐπιστολὴ τοῦ Ἀρσενίου Ἀποστόλη πρὸς τὸν πάπαν Λέοντα Ι', εἰς ἣν προκειμένης τῆς ἐκδόσεως τοῦ ἔργου «Ἰωνιὰ» ἀναφέρεται:

«Ὁ μὲν ἐμὸς πατήρ, πανάγιώτατε καὶ μακαριώτατε δέσποτα, πάλαι ποτὲ διατρίβων ἐν Ῥώμῃ, Γάσπαρι τῷ αἰδεσίμῳ ἐπισκόπῳ τοῦ Ὄσμου συναγωγὴν παροιμιῶν συνθεῖναι ὑπέσχετο. Ἀρξάμενος δὲ τῶν παροιμιῶν, συνυπεμνήσθη καὶ γνωμῶν, ἀποφθεγμάτων τε καὶ ὑποθηκῶν ἀρχαιοτάτων καὶ σοφωτάτων ἀνδρῶν. Ταῦτα γὰρ ἀλλήλων εἰσὶν ἀδελφά. Ὅθεν κἀπὶ τοῖς τῶν ἔνδον κἀπὶ τοῖς τῶν ἔξωθεν ἐστιν εὑρεῖν παροιμιαστὰς οὐκ

./.

λόγας καὶ γνώμας, καὶ ὑποθήκας καὶ ἀποφθέγματα. Ταῖς μὲν οὖν παροιμίαις τέλος ἐπιθεὶς ᾧ καὶ ὑπεσχέθη ἐξέδοτο. Τὰ λοιπὰ δὲ καταλιπών, ἑτέραις φροντίσιν ἀσχοληθείς, καὶ νόσῳ ἀνηκέστῳ περιπεσών, συμπεφυρμένα καὶ ἄτακτα, καὶ ἦν ἅπαν κατ' Ἀναξαγόραν, πάνθ' ὁμοῦ χρήματα, νοῦ τινος δεόμενα ἐξ ἀταξίας εἰς τάξιν παραγαγεῖν, τὸν βίον μετήλλαξεν· οἷόν τι οὐκ ἐρραμμένον, ἀλλ' ἄρραφον ὑπόδημα, ὡς ἄλλος τις Ἱστιαῖος Ἀρισταγόρᾳ ἀφεὶς ὑποδύσασθαι. Ἐγὼ δὲ ταῦτα διαδεξάμενος, καὶ τοῖς πατρικοῖς ἱδρῶσι συγκαταμίξας τοὺς ἐμαυτοῦ, τέλος σὺν θεῷ τῷ ἔργῳ ἐπέθηκα, ἐξ ἀταξίας εἰς τάξιν παραγαγών, καὶ πρὸς τοῖς ἐκείνου πεποίηκα, οὐχ ὅτι τῶν ἔξω, ἀλλὰ καὶ τῶν ἔσω σοφῶν συναγηοχὼς καὶ ταῖς παροιμίαις συντεταχώς, ἅπερ εἴπερ τῶν ἐκείνου προειρημένων ἀρχαιότερα λέγοιμ' ἂν εἶναι καὶ ὡραιότερα, θαρρῶν ἂν εἴποιμι τἀληθές.....»